eul_wid: gxg-aa

*Ἀμύντας ὁ Τελμησσεύς* · Amyntas of Telmessos

# Elegiac Poetry Fragments

*Ἐλεγειακῆς Ποιήσεως Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 42.1 Ἀμύντου[ln_1]αυχμα.....[...].ον ὑπ’ ὀφρύος ἄνθεσι δάκρυ μ[ ]λωνενβρ..ς...ρ[..].ρ..π.ς

book 42.2 σπιλάδι

book 43.1 〈 〉[ln_1]φράζε, γύναι, τίς ἐοῦσα κ[α]ὶ ἐκ τίνος, εἰπέ τε πάτρην, καὶ ποίας ἔθανες νούσου ὑπ’ ἀργαλέης. οὔνομα μὲν

book 43.2 Πραξὼ Σαμίη, ξένε, ἐκ δὲ γονῆος Καλλιτέλευς γενόμαν, ἀλλ’ ἔθανον

book 43.3 τοκετῷ.[ln_5]τίς δὲ τάφον

book 43.4 στάλωσε; Θεόκριτος, ᾧ με σύνευνον ἀνδρὶ δόσαν. ποίην δ’ ἦλθες ἐς ἡλικίην; ἑπταέτις

book 43.5 τρὶς ἑνὸς γενόμαν ἔτι. ἦ ῥά γ’ ἄτεκνος; οὔκ, ἀλλὰ τριετῆ παῖδα δόμῳ λιπόμαν. *

book 44.1 Ἀμύντου[ln_1]τασπ.σαρος ἄτρεστον Λακεδαίμονα, τᾶς χέρα μούνας

book 44.2 πολλάκισανπο..σι δ[ῆ]ριν ἔφριξεν Ἄρης, νῦν ὑπ’ ἀνικάτωι

book 44.3 Φιλοποίμενι δουρί τ’ Ἀχαιῶν πρηνὴς ἐκ

book 44.4 τρισσᾶν ἤριπε μυριάδων,[ln_5]ἄσκεπος. οἰωνοὶ δὲ περισμυχηρὸν ἰδόντες μύρονται, πεδίον δ’ οὐκ ἐπίασι βόες. κ]απνὸν δ’ ἐκθρώσ[κοντα] παρ’ Εὐ[ρ]ώταο λοετροῖς Ἑλ]λὰς δερκομένα [μύρεται ἀ]κρόπο[λιν. *